p. 454c. *καλεῖς τι μεμαθηκέναι.*

ἄρχεται ἐντεῦθεν διαιρεῖν τὴν πειθὼ εἴς τε τὴν πιστευτικὴν καὶ εἰς τὴν διδασκαλικήν. πρότερον γὰρ διαιρεῖ, εἶτα ἀποδείκνυσιν, ἐπειδὴ ἐκ τῆς διαιρέσεως αἱ ἀποδείξεις. ἰστέον δέ, ὅτι δύναται καὶ διττὴ εἶναι ἡ πειθώ, ὡς ἤδη εἴρηται· δύναται καὶ τριττή, ἐὰν λάβωμεν καὶ τὴν ὑπὲρ ἀπόδειξιν πίστιν, τὴν ἀπὸ τῶν κοινῶν ἐννοιῶν ὁρμωμένην, τὴν λέγουσαν τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα, καὶ ἐὰν ἴσοις ἴσα προστεθῇ, τὰ ὅλα ἐστὶν ἴσα. 5

p. 454d. *καλῶς γὰρ οἴει.*

ὁ μὲν Γοργίας ἔλαβεν αὐτὸ οὕτως ἔχον, ὁ δὲ Σωκράτης ἀποδείκνυσιν αὐτό. 6

p. 454d. *πίστις ψευδὴς καὶ ἀληθής.*

ἰδοὺ μία πρότασις τοῦ συλλογισμοῦ. 7

p. 454d. *τί δὲ ἐπιστήμη ἐστίν.*

ἐνταῦθα ἡ ἑτέρα πρότασις ἡ λέγουσα, ὅτι ἡ ἐπιστήμη οὐκ ἔστι καὶ ἀληθὴς καὶ ψευδής. 8

p. 454d. *δῆλον ἄρα, ὅτι οὐ ταὐτά εἰσιν.*

τὸ συμπέρασμα ὅτι οὐκ ἔστιν ἡ πιστευτικὴ καὶ ἐπιστημονική. 9

p. 454e. *ἄνευ τοῦ εἰδέναι.*

τὸ εἰδέναι ἀντὶ τῆς ἐπιστήμης παραλαμβάνει ὡς καὶ ὁ Ἀριστοτέλης ἐν τοῖς ἀποδεικτικοῖς φησιν, ἐπειδὴ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι ταὐτόν ἐστι. μέμνησο οὖν τοῦτο, ἐπειδὴ μέλλομεν χρείαν τούτου ἔχειν. 10

p. 455a. *οὐκ ἄρα διδασκαλικὸς ὁ ῥήτωρ.*

οὐκ ἔστιν οὗτος διδασκαλικός φησιν, ἀλλὰ πιστευτικός· τοῦτο δὲ γίνεται, ἐπειδὴ σύγχυσίς ἐστι· δεῖ γὰρ εἰδέναι, ὅτι 11

22 Aristot. phys. I 184a 10; metaph. I 982a 30

10 *οἴει* ex *ποιεῖ* correxit M[c] 18 *ἄρα* M *γὰρ αὖ* codd. Plat. *ὅτι* supr. lin. add. M[c]